# ΙΕΡΕΜΙΟΥ ΤΟΥ Β΄.
# ΓΡΑΜΜΑ ΣΥΝΟΔΙΚΟΝ
## ΠΕΡΙ ΤΩΝ ΠΡΟΝΟΜΙΩΝ ΤΟΥ ΣΙΝΑ (1575)

† ΙΕΡΕΜΙΑΣ, ἐλέῳ Θεοῦ κτλ.

Ἔδει μὲν τοὺς βουλομένους διὰ γραμμάτων Συνοδικῶν τὴν ὀφειλομένην καὶ πρέπουσαν παρέχειν βοήθειαν ἑκάστῳ τῶν ὑπὸ βασιλικῆς προμηθείας ἀνεγερθέντων Μοναστηρίων, μὴ μόνον ἁπλῶς καὶ ἀπεριςκέπτως χρῆσθαι τοῖς γράμμασιν, ἀλλὰ καὶ πρὸ παντὸς ἄλλου σκοπεῖν, ὅπως τε ταῦτα βασιλικὰ ἐκλήθησαν ἐξ ἀρχῆς, καὶ τίσι νόμοις τε καὶ θεσπίσμασι τῆς τοιαύτης τετύχηκε κλήσεως. Ἐπειδὴ δέ τινες τῶν πρὸ ἡμῶν Πατριαρχευσάντων, ἀγνοήσαντες ὅλως, ὡς φαίνεται, τὴν πάλαι περὶ τὸ Σινᾶ ὄρος βασιλικὴν πρόνοιαν, μηδ᾽ ἐντυχόντες ταῖς Νεαραῖς καὶ τοῖς Συνοδικοῖς θείοις θεσπίσμασιν, ἃ δὴ πάντα τὰ περὶ τούτου δηλοῦσι πλατύτερον, ἀγνοίᾳ, ὡς ἔοικε, τῶν τοιούτων γράμματά τινα κατὰ καιρὸν ἔφθασαν ἐπιδεδωκότες, κατὰ μηδὲν τῆς ἀρχαίας ἐκείνης ἀκολουθίας ἐχόμενα, ἀναγκαῖον καὶ δίκαιον ἔγνωμεν, ἵνα πρῶτον μὲν αὐταῖς λέξεσιν ὧδε ἐγχαραχθῇ ἡ φαινομένη νεαρὰ τοῦ ἀοιδίμου βασιλέως Ρωμαίων Ἰουστινιανοῦ τοῦ μεγάλου, ἐν ᾗ πρὸς τοῖς ἄλλοις καὶ τὸ Σίναιον ὄρος ἐπισκοπὴ φαίνεται, εἶθ᾽ οὕτω καὶ τὰ μετὰ τοῦτο συμβάντα δῆλα τοῖς πᾶσι ποιήσωμεν. Ἔχει δὲ οὕτως ἡ Νεαρά, ἤτοι τὸ ἐκβληθὲν ἀπὸ τοῦ παλαιοῦ κώδικος. «Ἐπὶ Ἀναστασίου Πατριάρχου Θεουπόλεως μεγάλης Ἀντιοχείας, τὰ σκῆπτρα Ρωμαίων ἰθύνοντος τοῦ μεγάλου Ἰουστινιανοῦ, ὅτε τὰ Ἱεροσόλυμα ἐτιμήθη εἰς Πατριαρχεῖον τῷ ‚ςμβ΄ ἔτει, συνελθόντων Συνοδικῶς τοῦ Κωνσταντινουπόλεως, τοῦ Ἀλεξανδρείας καὶ τοῦ Ἀντιοχείας, κατὰ μῆνα Αὔγουστον ἰνδικτιῶνος ιγ΄, καὶ θεσπισάντων ἀρᾷ ὑποκεῖσθαι τὸν τολμήσαντα παραθραῦσαι τὸ τοιοῦτον θέσπισμα ἢ παρασαλεῦσαι, καὶ δέδωκεν ὁ Ἀντιοχείας ἀπὸ τῶν ὑποκειμένων μητροπόλεων τῷ ἑαυτοῦ Θρόνῳ δύο, τὴν τῆς Καισαρείας τῆς Παλαιστίνης καὶ τῆς Σκυ-